Ἀπόκαυχος. 1320.

ᾔτει δὲ (Καντακουζηνὸς) ἐς τὴν Κωνσταντίνου καὶ τῷ νέῳ βασιλεῖ προσελθεῖν καὶ τὰ τῆς ἀρχῆς ἀπαγγεῖλαι, ἔτι δὲ καὶ τὸν Ἀπόκαυχον, ἄνδρα γένους μὲν ἀφανοῦς ὄντα καὶ ταῖς τῶν δημοσίων πράξεων κεκο-λημένον (τῶν δημοσίων γὰρ ἦγεν τότε τὴν διάθεσιν ἐπέτρεπτο) ἄλλως δὲ θαρσαλέον ὄντα ἐρρωμένον καὶ δυνάμενον καιροῖς καὶ πράγμασι χρῆσθαι, προσοικειώσαι τῷ βασιλεῖ

Καντακουζηνὸς Α. 4. σ. 25

Τὴν δὲ ταύτην ἀρχὴν ἠγόρασε μὲν πάλαι βασιλέως ὁ Συργιάννης ἐξ ἑαυτοῦ μέν, ἦγε δ' ἐς αὐτὴν μάλιστα καὶ Ἀπόκαυχος, ὑποσπένδων πρὸς βασιλέα ἐξ αἰτίων διαφόρων παραζάλην, ἐπεὶ δι' αὐτοῦ δὲ δυνάμενος εἰσάγειν τὴν γνώμην (οὔπω γὰρ ἐπηρεάζετο τῷ βασιλεῖ τοσοῦτον ὡς καὶ μετέχειν βουλῆς) φίλῳ ὄντι τῷ Συργιάννῃ ὑπετίθετο ὡς αὐτῷ παρρησίᾳ χρησομένῳ. σ. 43

1321 Ἐπεὶ δὲ ἔδει καὶ τὴν ἐκ τοῦ νέου βασιλέως τινὰ πάρεδρον, τοὺς ἐγκλήματος ὅρκους ἀποκομίζοντα, ὁ παρακοιμώμενος Ἀπόκαυχος κατεπείγεται παρὰ τοῦ μεγάλου δομεστίκου, τοῦ Συργιάννου πρὸς τοῦτο πέμψαντος . . σ. 116

Απόκαυκος. 1328

σ. 117. ..ἐκεῖνο δ' οὐκ ἤνεγκα μικρόν, ὅτι μὴ πρὸς παράληψιν τῶν ἀρχῶν, πολλῶν δὲ καὶ ἀγαθῶν καὶ τῶν καθ' αἷμα προσηκόντων αὐτῷ συνόντων, ἐκείνων μὲν ἀπηξίωσεν οὐδένα, τὸν δὲ Απόκαυχον, ἄσημον μὲν ὄντα καὶ ἐξ ἀσήμων, καὶ πρὸ χθὲς καὶ πρώ-
σ.118 ην τοῖς τῶν δημοσίων πράκτορσι ὑπογραμματεύοντα καὶ τὸ τὸ δηνόθερον ἄλλον, οὐ δή τι θαυμαστὸν λέγων. ὁ γὰρ αὐτὸς ἐμὲ πολλαῖς ὑποσχέσεσιν ἐξαπατήσας, τῶν δημοσίων ἁπάντων ἔφορος ἀπεδείχθη. ἀλλὰ τῶν μὲν ὑποσχέσεων ἐπεπλήρωκεν οὐδέν, ἀλλ' δὲ πᾶσαν ... τῶν ἄλλων πρόσοδον καθαρπάζων, καὶ διὰ τοῦτ' ἐν πολλοῖς ἀλλὰ μηδένα ἐπέλαβεν, τῷ καιρῷ χρησάμενος, πρὸς τὸν ἐμὸν ἔμμονον ᾤχετο ἀποστὰς

σ. 339. 1328 μ.Χ. .. ὁ δὲ μέγας δομέστικος τοῖς τε γεγενημένοις ἐπόθετο πρὸς βασιλέως, καὶ παρακαλούμενα τὸν Απόκαυχον ἐπὶ τῇ διοικήσει τῶν δημοσίων πραγμάτων

# Ἀπόκαυχος Ἀλέξιος 1340

Μεταξὺ δὲ παρασκευαζομένῳ τῷ παρακοιμώμενος B. 38
Ἀπόκαυχος ἐν Βυζαντίῳ ἥκων. πολλαῖς δὲ ὕστερον ἡ- σ. 535
μέραις τῷ μεγάλῳ δομεστίκῳ προσελθὼν ἀνεμίμνησκέ τε πα-
λαιῶν εὐεργεσιῶν, ὧν ὑπῆρξεν εἰς αὐτὸν· καὶ νῦν
ἐδεῖτο, τῶν μὲν κτήσεων προσόδων, ἃς αὐτὸς κατορθῶ-
σαι, βασιλέως παρασχόντος, κληρονόμους εἶναι παῖδας
τοὺς αὐτοῦ· αὐτὸν δὲ ἄδειαν ἔχοντα ἐκ βασιλέως,
φροντιστηρίῳ προσελθεῖν, ἅπασι τοῖς τοῦ βίου χαίρειν
εἰπόντα, μίαν δὲ ποιούμενον φροντίδα τὸ τὴν ψυχὴν
ἐκ τῶν πολλῶν κηλίδων ἃς αὐτῇ προσετρίψατο
ἐκ τῶν πραγμάτων, ἐκκαθᾶραι· ἐς τοῦτο γὰρ
ἐκ Βυζαντίου ἥκειν, οὐδεμίαν ἑτέραν τῆς ἐπιδημί-
ας ἔχοντα αἰτίαν. ὁ μέγας μὲν οὖν δομέστικος οἰ-
όμενος τὰ λεγόμενα εἶναι ἀληθῆ, αὐτός τε ἔ-
φασκεν οὐκ ἂν κωλύσειν, καὶ βασιλεῖ περὶ τού-
του διαλέξεσθαι. ὁ δὲ αὖθις καὶ πολλάκις προ-
σελθὼν, ἐδεῖτο περὶ τῶν αὐτῶν καὶ ὅρκους προ-
σετίθει ὡς οὐ πλάττεται τὴν αἴτησιν, ἀλλὰ πολ-
λοῦ παντὸς αὐτῷ ἡ ἀναχώρησις τοῦ κόσμου καὶ
ὡς οὐδ᾽ ἂν εἴ τι γένοιτο μεταβάλοι τῆς προθέ-
σεως. διὸ καὶ ταύτην ἤδη τελευταίαν εὐεργεσίαν
καταθέσθαι ἐπὶ πολλαῖς ταῖς πρότερον γεγενημέναις.
ὁ μὲν οὖν τοιαῦτα μετὰ σπουδῆς ἐδεῖτο ὡς ἐδόκει.
ὁ μέγας δὲ δομέστικος ἄλλων μὲν καὶ τὴν ψυχὴν

Ἀπόκαυκος Ἀλέξιος 1340

δακνόμενος ἐπὶ τῇ τούτου ἀναχωρήσει, ὅμως
δὲ ἀπαραίτητον τὴν αἴτησιν ὁρῶν, ἀπήγγελλε βα-
σιλεῖ ὅσα ὁ παρακοιμώμενος εἶπε. βασιλεὺς δὲ
ὑποπτεύσας, ὅπερ ἦν, ὡς οὐκ ἀληθῆ τὰ ση-
σ. 536 μεῖα, ἀλλὰ τινος αἰτίας ἕνεκα πλάττεται ἑ-
τέρας, πυνθάνων ἔλεγε τῷ μεγάλῳ δομεστίκῳ, εἰ
ταῦτα οὕτως οἴεται εἶναι ἀληθῆ. τοῦ δὲ διϊσχυ-
ριζομένου, μὴ ἂν ἄλλας ἔχειν, „σημεῖον" αὐτῷ ἔ-
φασκε „ σκέψας εἶναι φράσον ὡς βασιλεῖ μὲν
οὐκ ἂν τῇ κατὰ γνώμην, ἀλλὰ καὶ ἄλλο-
τε μᾶλλον, τοῦ βίου σου ἀπαλλαχθέντος. ὡς ἂν
δὲ μὴ πράγματος οὕτω καλοῦ καὶ διαφόρου
μέλλοντα αὐτὸς δεθεὶς δοκῇ βασκαίνειν τοῖς κα-
λοῖς, ἐνδίδωσιν. ὁ μέγας δὲ δομέστικος μὴ σκή-
ψας εἶναι ταῦτα λέγειν ἔφασκε δεῖν, ὡς οὐκ
ἂν φθάνοι τὴν ἀπολογίαν ἐλθών, καὶ συλλαβόμε-
νος ἀναχωρήσει· ἀλλὰ μᾶλλον εἴ τι δύναται αὐ-
τοῦ, κωλύσειν. βασιλεὺς δὲ καὶ αὖθις ἔφασκε τὰ
προσήκοντα λέγειν πρὸς αὐτόν· καὶ γὰρ ἀπο-
στῆναί τι τὴν γνώμην καὶ μετ' ἐμοὶ τοὺς ὅρκου-
ς ὅν. ὁ μὲν οὖν ἐπείθετό τε βασιλεῖ καὶ παρα-
κοιμωμένῳ ἐξήγγελλε τοῦ βασιλέως. ὁ δὲ μηδὲ ὅ-
λως, σχεδὸν ἀκοῦσαι ἀνασχόμενος, οἴεσθαι ἔφασκε
μάλιστα κατὰ γνώμην εἶναι βασιλεῖ τὴν ἐκεί-

Αλ. Ἀπόκαυκος 1340.

νου ἀναχωρήσειν καὶ ἔτι πρόσθεν ἐπιτρέψειν·
ἐπεὶ δὲ οὐκ ἐξὸν αὐτῷ, οὐδ' αὐτὸ ποιήσειν.
ὁ μὲν οὖν ὡς ἐπὶ τοῖς πρότερον γεγενημένοις
ἐσχημάτιστο σιωπῇ, βασιλεῖ μετὰ παρρησίας προσ-
ελθὼν ἀπήγγελλεν ὅσα ὁ παρακοιμώμενος
ἀπεκρίθη. βασιλεῖ δὲ διαταραχήν τε οὐ με-
τρίαν παρείχοντο οἱ λόγοι καὶ τῷ μεγάλῳ
δομεστίκῳ παίζειν ἔλεγεν, ὡς τὸν γοῦν ἂν
αἰσθάνῃ, ὀξύτερόν τε νοεῖν ὄντα αὐτοῦ καὶ
μᾶλλον ἐκ τῶν λόγων εἰδότα καταστοχάζεσθαι
γνώμας ἀνθρώπων. ὁ δ' ἔφασκε, πάλαι τε πεπεῖ- σ. 537
σθαι οὐδὲ τοσοῦτον αὐτὸν λανθάνειν διαφέρον-
τα, καὶ τὴν μάλιστα ὑπερβολὴν ἐν ἁπάσαις
γνώμαις αὐτοῦ κρατεῖν πρὸς τὸ ἐρωτᾶν. οἱ μὲν
οὖν τοιαῦτα πρὸς ἀλλήλους διελέχθησαν ἐν παιδιᾷ.
Ἀπόκαυκος δὲ οὐ μετὰ πολλὰς ἡμέρας αὖθις τῷ
μεγάλῳ δομεστίκῳ προσελθών, „τὸ μὲν ἀποστῆναι"
ἔφασκε„ παντάπασι τοῦ κόσμου, καίτοι μάλιστα κα-
τὰ γνώμην ὄν, οὐκ ἐξεγένετο. δεύτερον δέ, ὃ φασιν,
ἐπῆλθέ μοι πλοῦν, τὴν αἰτίαν τοῖς πᾶσι δηλουμέ-
νῳ, τὴν διαφέρουσαν ἐμοὶ τοῦ λόγου μοῖραν
ἐς τὸν κατὰ τὴν Θρᾴκην πόλεμον καταναλῶ-
σαι. οἶδα γὰρ ὡς ἤδη καὶ αὐτοὶ στόλοις ὀ-
λίγοις χρώμενοι, νήσους τε ἤδη ἠνδραποδίσαντο

σχεδόν, καί πρός Θρᾴκην στρατευόμενοι καί
τήν ἄλλην Μακεδονίαν, οὐ μήν ἀλλά καί Ἑλ-
λάδα καί Πελοπόννησον κατατρέχουσιν. εἰ
οὖν σοί ἀρεστόν, ἔοικε καί βασιλεῖ πειθομέ-
νῳ δόξει γνώμην καί παράσχοισθε Βυζαντί-
ου τε καί τῶν ἄλλων τήν ἀρχήν καί χρή-
ματα ἐκ τῶν κοινῶν ὅσα ἄν ὑμῖν βουλομέ-
νοις ᾖ, στόλον ἐξαρτύσομαι αὐτός, καί ἐκ
τῶν ἰδίων προσαναλώσας, καί πάσῃ σπουδῇ
καί προθυμίᾳ πολεμήσω τοῖς βαρβάροις. οἴ-
ομαι δέ Ῥωμαίοις τι ἀρκέσειν εἰ τήν τυ-
χοῦσαν τήν ναυτικήν ταύτην προβαλοῦσιν δύ-
ναμιν θαλασσοκρατοῦσαν καί ἀπείργουσαν
τούς βαρβάρους τοῦ ἐπί τάς νήσους καί τήν
ἤπειρον κακουργεῖν. καί πρός τήν σωτηρίαν
τῆς ὅλης ἀρχῆς τά μέγιστα συμβάλλεσθαι,
ἄν οὐκέτι μόνα τά χρήματα προσγινόμενα
σ. 538 ὑπό τῶν μελλόντων ὑπό τῶν βαρβάρων ἀ-
ποκτείνεσθαι καί ἐξανδραποδίζεσθαι. ὡς οὖν
εἰς τι τό κοινόν Ῥωμαίων τῆς ἐπ' ἐμοί εὐεργεσί-
ας διαβιούσης καί ἰδίᾳ ἐμοί ὅτι ὀλίγης ἐσο-
μένης εἰς τήν σωτηρίαν τῆς ἀρχῆς, δέομαι
βασιλεύς τε καί σοῦ, τήν χάριν ταύτην πα-
ρασχεῖν." Ὁ μέγας δέ δομέστικος ἑαυτῷ τε

## Ἀγ. Ἀθήναρχος 1340

καί τῇ κοινῇ λυσιτελοῦντα οἰόμενος παρακιν-
δύνευμα(?) αὐτῶν, αὐτός τε ἐπείθετο καί ἀπηγ-
γέλλετο ποιήσειν, καί ταχύ ἀπήγγελλε προ-
σελθών, ἅμα καί ἐλέγχων πρός τό δεῖν τὴν
ἀξίαν αὐτοῦ λυσιτελοῦσαν πράττειν τῷ κοι-
νῷ. ταχέως δέ ὁ προσταχθείς ταῦτα καί κα-
ταγινώσκων [illegible] ἐπιτάττετο· ὡς δ' ἤκουσεν,
οὐκ ἐν παρέργῳ, ἀλλά μετά σπουδῆς λέγων,
θαυμάζων ἔφασκεν αὐτοῦ πολλά, ἐν πρός τοιαύτην
ἐπιχείρησιν ἀφορμήν ὥσπερ ἔσεσθαι Ἀθήναρ-
χον. εἰ μέν γάρ βούλεσαι σοί φίλος εἶναι
ταύτην ἐνδείξασθαι αὐτῷ τὴν χάριν καταθεῖ-
ναι, ἔσει ἱκανός ἐπαινεῖν· οὐδέν γάρ ἧτ-
τον ἐγώ σοι πολέμιος, ἤ ἐκεῖνος φίλος. εἰ δέ
ὡς δή τῷ κοινῷ λυσιτελοῦντα τόν κατά Πε-
ρσῶν πόλεμον ἐγχειρίζων παρασκευῆς, ἔτι μάλ-
λον θαυμάζω, ὅτι ὁμολογῶν(?) αὐτός τε ἐ-
πιστήμης καί ἐμοί πρόσελθε τά ἴσα συμβου-
λεύων. οὐδέ γάρ οὐδέ παρά πάντα τόν βίον
οὔτε κατεσκεύασατό τι στρατιωτικῇ πρᾶξιν,
οὔτε ἐμέλλησεν, ἀλλά φόρον τι ἐκπορίσας
δυνάμεων καί χρημάτων καί προσόδων δι-
οικήσεις φέρει(?), αἷς ἐγχειρήσαιμι, ἐκείνως ἐν
τοῖς τοιούτοις ἐπικουρίαν ἐκτήσατο πολλήν. ταῖς 6. 539

Ἀγ. Ἀθάναχθ 1340

δὲ τοιαύτας πράξεις καὶ ἐμπειρίας ἀνδρὸς
δεῖσθαι μάλιστα τοῖς ὅπλοις ἐντραφέντος καὶ
σαφεῖς τὰς ἀποδείξεις ἐν πολλοῖς παρεσχημέ-
νου τῆς τε τόλμης καὶ τῆς ἐμπειρίας τῆς κατὰ
τὰς μάχας. Ὁ δὲ ἔλαβε τὰ ἴσα μὲν καὶ
αὐτὸς ἐκείνοις περὶ παραπομπικῶν. οὔτε γὰρ
ἑαυτὸν ᾔδει παρὰ τὸν βίον ἐν ταῖς προσή-
κουσιν ἔργοις στρατιώτῃ, οὔτε ἀπόδειξίν
τινα παρέσχετο οὐδεμίαν οὔτε τόλμης οὔτε
ἐμπειρίας ἔτι οὔτε τὰ ἀρέσκειν πρὸς
στρατηγίας τῶν κατὰ Πέρσαι πολέμων αὐτῷ
ἐγχειρίζειν παρασκευήν· ἀλλ' οὐδὲ μάλιστα τοὺς
Πέρσας πολεμίας μὲν καὶ ἀπομα-
χίας ἐμπειροτάτους καὶ δεινοὺς στρατιώτας τοῦ
ἀντικειμένου στρατηγοῦ, ἐν τοσαύτῃ πάντῃ
ἡττᾶσθαι, ἄλλως τε καὶ τοσαύταις ἡμέ-
ραις πολλοῖς παρεσκευασμένους ἐμπειροτάτους
καὶ τειχομαχεῖν καὶ πολεμαχεῖν, οἷς χρή-
σεται παρασκευασμένος ἀδιακρίτους πρὸς
τὸν πόλεμον, αὐτὸς τὰ ὅπλα μὴ δὴ ἀμ-
βλύνειν τὴν προθυμίαν αὐτοῦ τὴν περὶ τὰ
ἔργα καλὰ καὶ σοῦ ἤδη δεικνύμενος τὴν
στρατηγίαν ἐπιτρέψειν. ἴσως γὰρ ἡ προθυ-
μία τῇ ἀτολμίᾳ καὶ ἀπειρίᾳ ἀντιρρόποι

ὀφθεῖσα, χρήσιμον πρός τι τῶν ὅλων
ἀποβῆναι. πρὸς ταῦτα ὁ βασιλεὺς „ὅτι μὲν
σὺ" εἶπε „μάλιστα προσποιούμενος Ἀθανάσ-
ῳ τῶν ἁπάντων ἐγχειρίζειν τὴν ἀρχήν, καὶ
διὰ τοῦτο οὐδὲ πολὺν περὶ αὐτοῦ βούλομαι
ποιεῖσθαι λόγον, ἀλλ' ὅ πρότερον ἐπαγγε-
λόμεθα δὲ μὴ καὶ τοῖς τοιούτοις αὐτὸς φα-
νῆσθαι ἀληθεύων." τοιαῦτα πρὸς ἀλλήλους
αὐτῶν διαλεγομένων, ἐπεὶ ἐδέδοικτο παραμονῶ- c. 540
μένῳ Βυζαντίου καὶ τῶν ποτὲ ἐσχηκότων τὴν
ἀρχὴν ἅμα τοῖς ἐν τούτῳ ἑκουσίως φόροις,
γράμματα ἔγραφεν βασιλικά, ἄρχοντα ἀ-
ποδεικνύντα Παραμυθίου τοῦ στόλου τοῦ
κατὰ Προυσῆν, καὶ ἀπὸ τῶν δημοσίων κι-
νοῦντα λαμβάνειν χρυσίου μυριάδας δέκα ὥ-
στε ἔχειν ἐν τῷ τούτων καὶ ἀπὸ τῶν ἰδίων, ὡς
ὑπέσχετο, ὁπόσους τι παρασκευάζειν καὶ τὸ κα-
δορυφορικὸν Γότθων τὸ ἐν Ἰταλίᾳ. ἐπεὶ δὲ τά τε
γράμματα ἐλήφθη καὶ τὴν ἀρχὴν ἐνεχειρίσθη,
πρὸς Βυζάντιον ἦλθεν, τὰ μὲν βασιλικὰ γράμ-
ματα οὐ παρείχετο ἀναγινώσκεσθαι ὑπ' ἐκ-
κλησίας, ὡς ἂν εἴποι πάντες ὡς τις περὶ
αὐτοῖς εὐνοίας εἴη καὶ κηδεμονίας βασιλέως
ὁ στόλος ἔργον ἐν τι τῶν βασιλικῶν χρη-

μάτην ἡ δαπάνη, ἐπεὶ καὶ ἡ ἀφθονία τῶν
πολλῶν καὶ ὁ ἔπαινος πρὸς βασιλέα ᾖ. ἀλλὰ
ταῦτα μὲν ἀφανῶς παρεῖδον· αὐτὸς δὲ τὰ
μὲν βασιλικὰ χρήματα παρὰ τῶν τὰ δη-
μόσια πραττόντων λαμβάνων κρύφα, ὅπο-
θεν δὲ ἀναφανδὸν κατασκευασάμενος, ἐπλήρου τὰς
τριήρεις. ἵν' ᾖ αὐτὸς μὲν ἐκτήσατο τὴν δόξαν
τὴν παρὰ τοῦ πλήθους, καὶ πολὺς ἦν ἀδό-
μενος παρὰ πᾶσιν ὡς τῶν ὅλων ὁ φι-
λότιμος οὔτε χρημάτων οὔτε πόνων ὑπὲρ τῶν
κοινῇ λυσιτελούντων. βασιλεῖ δέ, ὥσπερ εἰκός,
προσετίθετο τὴν μέμψιν καὶ τὸν γογγυσμὸν
τὸν παρὰ τῶν πολλῶν ὡς τῶν λυσιτελούντων
ἐκείνοις μηδεμίαν ποιουμένῳ πρόνοιαν. ὅμως
δὲ πληρώσας τὰς τριήρεις περιέπλευσε τὰς νή-
σους μέχρι Χίου, καὶ ἐννέα ναυσὶ Περσι-
σ. 541 καῖς περιτυχὼν ἐκράτησεν αὐτάνδροις καὶ
πάσας ἀπήγαγεν εἰς Βυζάντιον. πυθόμενος
δὲ ὁ βασιλεὺς ὅσα αὐτῷ περὶ τὰ βα-
σιλικὰ γράμματα κατεσκευάσθαι, καὶ ὡς
λόγος διαδοθείη, μὴ βασιλέως, ἀλλ' ἐκ τῶν ἰδίων
εἶναι τὴν δαπάνην τῶν τριήρεων, ὀργῇ τε
ἐχρῆτο πρὸς αὐτὸν καὶ πρὸς τὸν μέγαν
δομέστικον, ὡς ὑπὲρ ἐκείνου πράττοντα ἀεί.

# Ἀλ. Ἀπόκαυκος 1340 1341.

„ὁρᾷς" ἔφη „οἷα Ἀπόκαυκος ποιεῖ; ἐγὼ δὲ
καίτοι πολλάκις ἀκούσας τὰ ὄντα παρὰ
σοῦ λέγοντος, ἀπεσχόμην. νυνὶ δέ μοι δοκῶ
μηδὲν ἐμποδὼν ἔσεσθαι ἃ αὐτὸς οἴομαι
γνωρίζειν ποιεῖν." βασιλεὺς μὲν οὖν τοσαῦ-
τα εἶπεν ὀργιζόμενος. ὁ δ' ἑαυτῷ συνειδὼς
μάλιστα αἰτίῳ τῶν παρόντων ὄντι, (αὐτὸς
γὰρ παρείχετο Ἀποκαύκῳ τὴν ἀρχήν,
βασιλέως ἀντιλέγοντος,) σιωπῇ παρῆλθε μη-
δὲν ἀποκριθείς.

1341 μ.Χ. . Τότε δὲ ἡ σύνοδος ἐπεπέρατο . . . ὁ βα- 6. 557.
σιλεὺς ἐπέμενεν ἐν τῇ μονῇ τῶν Ὁδηγῶν ἀναπαύ-
λης τινος τυχεῖν ἐς γενόμενος ἐπεὶ ἤρξατο πυρέττειν
ἠρέμας. . . . . . . δευτέρα δὲ ἡμέρα περὶ τὴν
κεφαλὴν ἐνόσησαν τὸ κακὸν πονήσας παρεῖχε τὰς
ἐλπίδας. . . . . . τρίτῃ δὲ τῇ μετ' αὐτὴν . . . .
γ' τοῖς ἰατροῖς ὑπέφαινε χρηστὰς ἐλπίδας. ἐπεὶ δὲ ἤδη
περὶ μεσημβρίαν ἦν, μεταβαλὼν ἐξαίφνης ὡς μετὰ πα-
ρὰ ἀποθνήσκεσθαι ἐδόκει βασιλέα, οἱ ἰατροὶ οὐδεμία
σωτηρίας ὑπελείπετο ἐλπίς· ἐπεὶ δὲ τοιαῦτα διεθρυλλή-
θη, τῷ μεγάλῳ δομεστίκῳ ~~ὁ παρ~~ Ἀπόκαυκος ὁ παρα-
κοιμώμενος προσελθών, συνεβούλευεν ἔχεσθαι τῶν πραγ-

# Απόκαυχος Αλέξιος 1341

σ. 557 μάλων ή παρασκευάσεις κοσμεῖσθαι βασιλικοῖς μετὰ τὴν
βασιλέως τελευτὴν, βασιλέα γὰρ ἐν ζωῇ ἔτι μὴ εἶ-
ναι προσδοκᾶν. πάντως δὲ οὐδὲν καινὸν ποιήσει, ἀλλ'
ὅπερ αὐτὸς τε πολλάκις ἠνάγκασεν ὁ βασιλεὺς καὶ Ῥω-
σ. 558 μαίων οὐκ ὀλίγοι ἴσασιν οὐδαμῶς ἔλαττον τῶν ἀπο-
διδόντες βασιλεῖς.

Γ. Β΄ θ΄. Ἐπεὶ δὲ ταῦτα αὐτῷ διῴκητο καλῶς, συνεβούλευε τῇ βα-
σ. 67 σιλίδι, τὸν υἱὸν βασιλέα τὸν Ἰωάννην χρίειν τε μύ-
ρῳ τῷ ἁγίῳ καὶ στέφει τὴν μεγάλην καθαροσυνῇ
ἡ ἐσοδος με δόξας βεβαιοῦσθαι καλῶς. τῶν δὲ κατ'
αἷμα προσηκόντων βασιλεῖ τινων μὴ δίκαιον εἶναι
παρακινούντων, τὸ πατέρα ὀλίγον πρότερον τετελευ-
τηκότα βασιλέως τὸν υἱὸν πανηγυρίζειν (τοῦτο δὲ αὐτοῖς
ὁ παρακοιμώμενος Απόκαυκος ὑπετίθει λέγειν, ὡς ἐκ
τῶν ὑστέρων γέγονε καταφανές, τὴν γεγενημένην
χάριν μελετῶν καὶ μὴ βουλόμενος βασιλίδα τῆς τῆς φι
αὐτὴν καὶ τὸν υἱὸν εὐνοίας ἐνέχυρα ἔχειν κεκτῆσθαι
παρὰ μεγάλης δουκίσσης) ἐς τὴν ὑστεραίαν τὸ ἔργον
ἀνεβάλλετο ἡ βασιλίς, τὴν μέλλησιν τινων αἰτιωμένη, ὅτι
δὴ πενθόμενοι καθηγοῦσιν, ὡς οὐ κεχρημένων τῷ
πράγματι κατὰ καιρὸν, ἀλλ' ἐν οἷς ἔδει κόπτεσθαι καὶ
θρηνεῖν, πανηγυρίζόντων αὐτῶν ἡ τῶν βασιλικωτάτων
τελεύτων ἑορτήν.

Απόκαυκος. 1341

Διδυμότειχον Αδριανούπολις. Βούλγαροι

μικρῷ δὲ ὕστερον ἠγγέλλετο, ὡς Σαρχάνης ὁ Λυδίας σατράπης καὶ Γιαξῆς πρὸς Θρᾴκην περαιοῦσθαι παρασκευάζονται· ναυσὶ ληϊζόμενοι Ῥωμαίους, ὁ μέγας δὲ δομέστικος οὐκ ἠμέλει, ἀλλ' αὐτίκα τριήρεις ὅσας ἐξαρκέσειν ᾤετο, πρὸς πόλεμον τοῖς βαρβάροις ἐκέλευε πηγνύειν. τὴν δὲ δαπάνην τῶν τριήρεων, τὴν μὲν ἐκ τῶν δημοσίων τοῖς ταμίαις ἐκέλευε παρέχειν, τὴν δ' ἐκ τῶν ἰδίων παρείχετο αὐτός. ἐπεὶ δὲ ἐπεπλήρωντο, ταῖς μὲν ἐπέστησε στρατηγὸν τὸν παρακοιμώμενον Απόκαυκον, καὶ ὅσα ἔδει ἐντειλάμενος καὶ τὸ λοιπὸν κελεύσας αὐτῷ μέλειν τὸν πόλεμον, αὐτὸς Ὀρχάνῃ, τῷ τῆς κατὰ Βιθυνίαν ἑῴας σατράπῃ, διεπρεσβεύετο περὶ εἰρήνης. ἔδει γὰρ ἐδόκει δὴ αὐτῷ πρὸς ἑσπέραν μέλλοντι στρατεύειν, πόλεμον ἄττα Ῥωμαίοις ὀπίσω καταλιπεῖν. ἐπεὶ δὲ καὶ πρὸς ἐκεῖνον εἰρήνη τέλος ἔσχεν, αὐτὸς μὲν πρὸς τὴν ἔξοδον παρεσκευάζετο. ἤδη γὰρ καὶ ἡ στρατιὰ κατὰ Διδυμότειχον καὶ τὴν Αδριανοῦ πόλιν αὐτοῦ κελεύοντος συνελέγοντο . . . . . . . . . . σ 65 σ 66

ί. ἐπεὶ δὲ γένοιτο πρὸς Διδυμοτείχῳ, περιήγγειλεν ἐποιεῖτο πάντας τοὺς κατὰ τὰς τῆς Θρᾴκης πόλεις κατοικοῦντας συγκλητικοὺς καὶ τὴν στρατιὰν παραγενέσθαι παρὰ περὶ τὰς στρατιὰς, ὥσπερ δὴ καὶ Βυζαντίους . . . . . . . . . . . σ. 69

ἐπύθετο πυθόμενος ὡς ὁ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος . . . στρατοπεδεύσοι ἐν Στίλβνῳ . . . . . . .

Απόκαυκος. 1341

Αδριανούπολις. Βούλγαροι. Χερρόνησος
Πέρσαι. Διδυμότειχον

σ. 69 ἔγνω δεῖν πρεσβείαν πέμπειν πρὸς αὐτόν. καὶ πέμψας, ἐν
Ἀδριανουπόλει τε ἐδήλου διατρίβειν καὶ μαθεῖν ἐθέλειν, εἰ ὁ
πόλεμος αὐτῷ μᾶλλον αἱρετέος ἢ εἰρήνη . . . . . .
. . . . Ἀλέξανδρος δὲ ὁρῶν καὶ κατεπτηχότας . . .
. . . . . . ἐχώρει πρὸς συμβάσεις . . . . . .
Δομέστικος δὲ ὁ μέγας εἰς Χερρόνησον μετὰ τῆς στρα-
τιᾶς ἐχώρει, πυνθανόμενος στρατιὰν Περσικὴν ἐπι-
σ. 70 μελλῆσαι εἰς Χερρόνησον ἐμβάλλειν ἐκ Περγάμου
ἀφιγμένην, ἧς Γιαξῆς σατράπης ἦν. ἅμα δὲ τῷ Ῥω-
μαίους εἰς Χερρόνησον ἀφικέσθαι, καὶ ἡ στρατιὰ τῶν Πε-
ρσῶν παρῆν. καὶ γενομένης μάχης, οὐδὲ πρὸς ὀλίγον
ἴσχυσαν οἱ Πέρσαι Ῥωμαίοις ἀντισχεῖν, ἀλλ᾽ ἡττηθέντες
κατὰ κράτος, οἱ μὲν ἔπεσον κατὰ τὴν μάχην οἱ δ᾽ ἑ-
άλωσαν. ὅσοι δὲ ἠδυνήθησαν διαφυγεῖν, ἐμβάντες ταῖς
ναυσὶν ἀπέπλευσαν ἐπ᾽ οἴκου. οὐ πολλαῖς δ᾽ ὕστερον ἡμέ-
ραις ἐκ τῆς αὐτῆς χώρας καὶ δευτέρα στρατιὰ ἐπεραι-
οῦτο . . . . . . . συμβαλόντες δὲ καὶ τούτοις οἱ Ῥωμαῖ-
οι, ἐνίκησάν τε καὶ ἀπέκτειναν τοὺς πλείους, ὡς δὲ Για-
ξῆς δὶς ἡττήθη . . . . . . . ἐχώρει πρὸς συμβά-
σεις, καὶ ἐτίθετο πρὸς αὐτὸν ὁ μέγας δομέστικος σπον-
δὰς φιλικάς. ὡς δὲ ἀπέτρεψε τὴν ἐκ Περσῶν προσ-
δοκωμένην βλάβην, αὖθις εἰς Διδυμότειχον ἐπανελθὼν πα-
ρεσκευάζετο πρὸς τὴν εἰς τὴν ἑσπέραν ἐκστρατείαν.

## Απόκαυκος 1341.

### Πύργοι. Επιβατών πύργος

Τούτων δε πραττομένων υπ' αυτής ο παρακοιμώμενος Από- σ. 70
καυκος νεωτέρων πραγμάτων επιθυμών ϗ τρόπω παντί πει-
ρώμενος μετάγειν ες εαυτόν των πραγμάτων την αρ-
χήν εσκέψατο, επεί τε κατά Περσών αυτός κεχειροτό-
νητο στρατηγός, και δυνάμεως επέστη ναυτικής, βασιλέ-
α τον νέον Ιωάννην ες μίαν των τριήρων ενθέμε-
νος, αγνοούσης βασιλίδος της μητρός, ες τον περί Βυζάν-
τιον πρότερον αυτώ πύργον ωκοδομημένον οχυρώτατον σ. 71
όντα όπη τε και καρτερώτατον τον Επιβάτας προσα-
γορευόμενον αγαγείν· εκεί δε μετά των συγγενών ϗ
των οικετών βασιλέα έχων σπουδάς τίθεσθαι προς
βασιλίδα, ώστε αυτόν μεν και συγγενείς ϗ τοις άλλοις τοις
συνούσι τιμάς τας παρά Ρωμαίοις πρώτας καρπούσθαι
ϗ χώραν είναι ϗ πόλεων κυρίους οποίων αν βούλωνται
αυτοί, και μηδέν ελλείπειν ες ηλικίας λόγον· βασιλέα δε
το έθος απολαβείν το πρεσβείον, αλλ' ώσπερ όμηρον κατέχοντα
μια των θυγατέρων τοις γάμοις προσαρμόσαι. ο μεν ουν τοι-
αύτα διενοείτο ϗ ώρμητο ήδη πράττειν. των συνειδότων δε τι-
νος βασιλίδι απαγγείλαντος, επεί βασιλέα τε ήδη επειράτο
φθάσας ϗ αυτός εγνωρίσθη ώχετο φεύγων ες Επιβάτας τον επί
των πραττομένων, ώσπερ ην εικός, κίνδυνον διαδιδράσκων.
περί των τειχών δη ο μέγας δομέστικος καθώς και τα προς
την στρατείαν παρασκευαζόμενα, έπεμψε τον Ταρχανειώ-

Ἀπόκαυκος 1341.

Ἐπιβάται

σ. 71 ὕστερον Μανουὴλ τὸν καὶ Κορδίκην προσαγορευόμενον με-
τὰ στρατιωτῶν ὀλίγων πέμψας ἐκέλευσεν Ἐπιβάτας ἔξω-
θεν φρουρεῖν στρατοπεδευσάμενον, ἄχρις ἂν ἁλίσκηται αὐτός.
πέμψας δὲ καὶ πρὸς Ἀπόκαυκον, ἐπυνθάνετο τἀληθῆ τὰ
θρυλλούμενα ἢ περὶ αὐτοῦ. ὁ δὲ ἔφασκε μὲν συναγανακτεῖν·
δεδιέναι δὲ, μὴ φθάσῃ διαφθαρεὶς ὑπὸ διαβολῆς πρὶν διερευνώ-
μενα φανῆναι τἀληθῆ, τὴν σωτηρίαν ἐκ τῶν ἐνόντων ἑ-
αυτῷ πορίζειν, καταφυγόντα ἐν τῷ φρουρίῳ. συνεβάλλεσθαι
σ. 72. δὲ παράδειγμα τῶν ἀπροσδοκήτων τῶν πραγμάτων με-
ταβολῶν λαμβάνων ἐξ αὐτοῦ, ἣ πρότερον δὲ γὰρ αὐτῷ τὰ τοι-
αῦτα ὑποπτεύεσθαι ἔφασκεν, εἰ καὶ μὴ ἔσχε, συμβουλεύων τὰ λυ-
σιτελῆ, καὶ τῆς ἐκείνης τὴν ἀπόδειξιν τῶν λεγομένων τῶν
ὑπ' αὐτῷ τελούντων φρουρίων ἓν (πολλὰ δὲ εἶναι) τὸ μάλιστα ἐπι-
τήδειον ἔχον πρὸς τὸ μὴ ὑπομεῖναι πολιορκίαν ἐκλεξά-
μενον, κατασκευαῖς χειροποιήτοις ὀχυρώτατα ποιεῖν, ἵν' εἰ
συμβαίη τῶν ἀπροσδοκήτων ἀναχώρησιν ἔχῃ καὶ τῶν δεινῶν
ἀποφυγήν, ἐπεὶ δὲ, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν πέπει-
σθαι αὐτῷ, ἐκείνοις διακειμένῳ πρὸς αὐτὸν, ἢ μὴ ἀδικεῖ-
σθαι τὴν ψυχήν. ἢ γὰρ ἡ αὐτῷ νῦν, καίτοι ἢ ψευδῶν ὄντων
τῶν λεγομένων κατ' αὐτοῦ, μηδεμίαν ἑτέραν εἶναι σωτηρίας πρό-
φασιν, ἢ τὸν πύργον ἀφ' οὗ κατέφυγε τὸν κίνδυνον διαδι-
δράσκειν. εἰ δὲ ἡ ἀλήθεια συνέβαινε τὰ λεγόμενα εἶναι, ἢ πέρας
τὸ ζήτημα ἂν συνήρπασε ἢ ἀφορμὴν τοῦ θανάτου παρασχεῖν

Ἀκαρνανίας. 1341.

Ἀκαρνᾶνες μὲν δὴ τοιαῦτα συνεβούλευον· δομέστι-
κος δὲ ὁ μέγας θαρρεῖν κελεύσας πρὸς αὐτόν, «περὶ Κανταχου-
μὲν τῶν γεγενημένων», ἔφη, «παρ' αὐτοῦ μάλιστα βού- ζηνὸς Γ΄.
λεσθαι καὶ αὐτὸν μὴ εἶναι ἀληθῆ, ὥσπερ δῆτα σ. 72
καὶ αὐτὸς διισχυρίζεται. οὕτω γὰρ αὐτός τε εὔνους
ἔσται ἀποδεδειγμένος βασιλεῖ, καὶ οἱ συκοφαντοῦντες αὐ-
τὸ τοῦθ', ὅπερ εἰσίν, ἐξεληλεγμένοι. εἰ δ' ἄρα καὶ αὐ-
τὸς ἥμαρτε καιναῖς ἀπατηθείς, ὅπερ δὴ πολλοῖς συμβέβη-
κε, τοῦ δέοντος ἐξετράπη, καὶ μηδὲ δυνατά, μηδ' αὐ- σ. 73
τῷ προσήκοντα διενοήθη, οὐ χρὴ διὰ ταῦτα τὸν πρὸς
βασιλέα πόλεμον αἱρεῖσθαι, ἀλλὰ θαρροῦντα, ἐξ ὧν ἔ-
σται πλέον ὄφελος οὐδέν. ἀλλ' ἐπὶ τοῖς προτέροις ἑαυτῷ
πεπλημμελημένοις, ὡς κακῶς βεβουλευμένῳ, ἐν τοῖς ἑξῆς βελτί-
ω παρέχειν ἑαυτὸν καὶ τὴν προσήκουσαν φυλάττειν τά-
ξιν καὶ συγγνώμης ἐπὶ τοῖς ἡμαρτημένοις δεῖσθαι τυχεῖν.
βέλτιον μὲν γὰρ τὴν ἀρχὴν μὴ ἁμαρτάνειν· εἰ δ' ἄρα
συμβαίη, δεύτερον ἀγαθὸν ἑαυτόν τινα ἐπανορθοῦν ἀπο-
στάντα τῶν κακῶν. ἐπεὶ δὲ ὅσον οὔπω παρέσται καὶ
αὐτός, οὗ ἕνεκεν αὐτὸς ἰατρὸν ἑαυτοῦ κακῶν, ἔχων
πολλὰ φάρμακα τοῖς ἑκάστου κατ' ἄλλα νοσήμασιν
εἴ γε βούλοιτο αὐτός, ῥᾳδία τῶν τραυμάτων ἡ ἴασις
ἐκείνῳ ἔσται. ἦν γὰρ δὴ ὁ παρακεκινημένος πρὸς τοὺς
ἄλλους, ὡς τὸν μέγαν δομέστικον προσηγόρευε, καὶ
ἰατρὸν ἐκάλει ἑαυτοῦ κακῶν, ὅτε δὴ εἰ πολλῶν

τῶν περιεχόντων πολλάκις αὐτὸν κινδύνων ἐξαρ-
πάσαντα καὶ τεθεραπευκότα πονήρως ἐσχηκότα. τῆς
γε μὴν ἐκείνου βουλῆς, ἧς αὐτῷ συνεβούλευε περὶ τοῦ
φρούριόν τι ἑαυτῷ κατασκευάσαι, ἵν' εἴη καταφυ-
γὴ πρὸς τὰς τῶν πραγμάτων μεταβολάς, χάριτας μὲν
ἔφη εἰδέναι τῆς περὶ ἐκεῖνον προθυμίας καὶ σπουδῆς·
αὐτῷ δὲ μηκέτι τὴν ἐκ τῶν τοιούτων ἀσφάλειαν εἶ-
ναι περισπούδαστον. ἀλλ' ἱκανῶς ἂν ἔχειν, εἰ ἡ-
μέραν ἐκείνην μετὰ τὴν ἐν ᾅδου προσορμεῖν,
σ. 74 ἐν ᾗ μετὰ τὴν ἐκ τῆς ἄνωθεν ἐλπίδα δεξιᾶς
τῆς ἐκ τῶν φίλων ἀσφαλείας ἀπέλαυσας καὶ τοῦ
τούτων τὰς καρδίας ὥσπερ ἐκπορθήσεις, οἷα δὴ
ἀσφαλεστάτῃ φρουρᾷ κατέχειν τῇ φιλίᾳ, λίθοις
καὶ ξύλοις καὶ λογισμοῖς ἐλπὶς οὐδὲν ἔχουσι πιστεύ-
σει καὶ σωτηρίαν. φρούριον μὲν γὰρ εὐδαιμονί-
αν καὶ ἄλλως ἀγαθὸν ἀνθρώπους τὸ θεῷ προσανακεί-
μεν καὶ διὰ παντὸς αὐτῷ σύνεστιν τῇ πρὸς ἐκεῖ-
νον διὰ καθαρότητος ἀναβάσει, αὐτὸς εἰδέναι. δευτέραν
δὲ μετ' ἐκεῖνο, τὸ φίλοις χρῆσθαι ἀσφαλέσι καὶ
πιστοῖς, πρῶτον μὲν τοῖς ἄλλοις καὶ συνέσει δια-
φέρουσι τῶν πολλῶν, ἔπειτα δὲ μετ' ἐκείνους καὶ τὴν
παρὰ τῶν πολλῶν εὔνοιαν καρποῦσθαι, πάντων ἐκεί-
νοις διὰ χρηστότητα τρόπων προσεχόντων. καὶ τοῦτο
οἴεσθαι οὐ πόρρω μόνον ἀσφαλῶν ἀναγκαιότερον,

Ἀπόκαυκος 1341

Πέρσαι. Ἐπιβάλαι

ἀλλὰ καὶ χρημάτων καὶ δόξης καὶ τιμῆς ἁπάσης τετυχήκασιν καὶ βασιλείας αὐτῆς ἠμελήκασιν εἰς ἐσχάτας λόγον. ὅθεν οὐδὲν πείθεσθαι αὐτῷ τοιαῦτα συμβουλεύοντι, ἀλλ' ἐν ἐξαρχῆς ἐβούλετο, μέχρι τέλους ἑαυτῷ ἀσφάλειαν ποιοῦσιν, ὥσπερ ὄντα καὶ οὐ τῶν ἐκ τῶν φρονούντων καὶ ἀγνωμονούντων." Ἀπόκαυκος μὲν οὖν ὁ παρακεκινημένος οὕτως ἐν ἐσχάταις ἐμμεμηνότος ἐφρόνειτο.

.. ἐν Βυζαντίῳ δὲ παρασκευασμένων τῶν τριήρεων, ὡς πρὸς τὴν ἔφοδον τῶν Περσῶν ἔμελλεν ὁπλίζεσθαι, ἐπεὶ ὁ παρακοιμώμενος ὃς αὐτῶν στρατηγὸς κεχειροτόνητο, δύσνους βασιλίδι γεγονώς, ἐστρατεύσεν ἐν ἐπιβάθαις ἐσχάτας ὁ μέγας δομέστικος ἐνεχείρισε τῷ ἐπὶ τὸ στρατὸ Σεναχερείμ ὡς αὐθέντα ἀποχρώντας, τὴν δὲ Περσικὴν διέλυσε στρατιὰν καταλυθῆναι τῷ τάχει τῆς παρασκευῆς, ἡ δὲ ἄλλα τὴν Σαρχάνη κακώσας χώραν . . . . ἡ ἄλλα ὅσα ἔδει τὸν ἀγαθὸν ποιῆσαι στρατηγὸν ἐπανῆλθεν ἐς τὴν Κωνσταντίνου. σ. 77

## Ἀπόκαυκος 1341

σ. 87 ιδ΄. Λέγει δὲ καὶ περὶ Ἀποκαύκου τοῦ παρακοι-
μωμένου ἐρωτῶντος καὶ σκοπουμένων καθότι δέοι χρή-
σασθαι αὐτῷ, μηδεμίαν ἄλλην, ἔφασκεν ἡ βασιλίς,
τῶν πεπραγμένων παρ᾽ ἐκείνου δίκην ἀπαιτεῖν, ἢ
σ. 88 ἣν αὐτὸς ἐτιμήσατο αὐτῷ, ὥστε οἴκοι καθῆσθαι, μὴ
ἐξιόντα, μήτε τῶν κοινῶν τι διοικοῦντα. ὁ δ᾽ ἔφασκε
καὶ αὐτὸς τὴν δίκην πρέπουσαν ἡγεῖσθαι τῷ τολμήμα-
τι. μὴ μέντοι γε αὐτῷ κατὰ γνώμην εἶναι πρὸς ὑπερ-
όριον ἀπιόντι στρατείαν τὴν πρὸς τὴν ἑσπέραν, τῶν
δεομένων διορθώσεως ὄπισθέν τι καταλιπεῖν. οὗ δὴ ἕνεκα
πρός τε τοὺς προσοίκους Πέρσας δεῖσθαι σπονδὰς καὶ
πρὸς Ἀλέξανδρον τὸν Μυσῶν βασιλέα, ἵνα μὴ ἀπόντος
ταράττοιτο αὐτὴ ὑπὸ πολεμίων ἀγομένη. καὶ διὰ τοῦ-
το καὶ παρακοιμώμενον ἡγεῖσθαι προσήκειν ἀξιώσαντας
συγγνώμης, πάλιν χρῆσθαι, ὅπῃ ἂν δοκῇ συμφέρειν. ἡ δ᾽
ἀντεῖπεν, οὐχ ἑαυτῇ καὶ τέκνοις μόνον, ἀλλὰ καὶ αὐτῷ
δύστηνον τὰ πολλὰ ἀποδεικνῦσα· μάλιστα δὲ ἐξ ὧν τὸ
αὐτῆς ὀλίγῳ πρότερον αὐθαδῶς ἐκεῖνος καὶ τολμηρῶς προσ-
ενήνεχθη πρὸς αὐτόν. "τί δὴ ἀμφοτέροις ἐκείνοις ἐπιβουλεύων
σαφέστατα ἠλέγχθη, τινὶ χρὴ θαρρήσαντα, ἄνθρωπον πα-
νουργίας καὶ ἐπιβουλῆς μεστὸν ἀποδημοῦντα αὐτὸν ὀπίσω
ἔφασκε καταλιπεῖν;" ἄξιον δὲ καὶ τῶν πρὸς τὸν μέγαν
δομέστικον Ἀποκαύκῳ εἰρημένων ἐπὶ τῆς βασιλίδος μνη-
μονεῦσαι καὶ ἔτι παλαιοτέρων κακουργημάτων, οἷς ἐχρή-

## Ἀπόκαυκος 1341

σαντο κατὰ μεγάλου δομεστίκου, μεγάλα ὑπηρετηκό-
τος, ἵν' ἐκ τῶν διηγημάτων κατάδηλος γένηται ἡμῖν ἥ-
τε τούτου πρὸς τὰς εὐεργεσίας φιλοτιμία καὶ ἑτοιμότης
πρὸς τὸ παρέχειν τοῖς εἰς αὐτὸν ἁμαρτάνουσι συγγνώμην,
καὶ ἡ παρακοιμωμένου πρὸς τὰ καλὰ ἀχαριστία καὶ
τῶν τρόπων ἡ σκαιότης. οὗτος γὰρ δὴ ὁ παρακοιμώμενος σ. 89
ἐκ Βιθυνίας ὡρμημένος καὶ ἄσημος ἐκ φαύλων φύς, τὰ
πρῶτα μὲν ὑπογραμματεῦσι πολλοῖς τῶν τὰ δημόσια χρή-
ματα ἐκπραττόντων ὀλίγου ἕνεκα μισθοῦ, ἔπειτα τῷ τοῦ
βασιλέως ἐπιστολοφόρησε θείῳ Ἀσάνῃ τῷ Ἀνδρονίκῳ. ἐπ' ἐ-
κείνου ἀποστάς, προσεχώρησε στρατηγῷ τῷ τῶν ἑσπερίων
θεμάτων δομεστίκῳ, τοὺς δημοσίους ἅλας τότε ἐφορῶντι.
εὐφυὴς δὲ φανεὶς καὶ πρόθυμος πρὸς τὴν ὑπηρεσίαν, χρή-
ματα ἐπιστεύθη παρ' ἐκείνου, ἵν' ἐλθὼν πρὸς βασιλέα, (Αν-
δρόνικος δὲ ὁ πρῶτος ἦν,) πείσῃ στρατηγῷ καὶ εἰς τοὐπιὸν
ἔτος τὴν διάθεσιν ἐγχειρίζειν τῶν ἁλῶν. ὁ δὲ τὰ μὲν
χρήματα ὡς ἴδια βασιλεῖ παρεσχηκώς, ἐπαγγειλάμενος δὲ
καὶ διπλασίω τῶν ὑπὸ στρατηγοῦ παρεχομένων τῷ βασιλικῷ
αὐτὸς εἰσφέρειν ταμείῳ, ἔπεισε βασιλέα ἐκεῖνον προελέσθαι
καὶ τῶν ἁλῶν παρέχειν τὴν ἀρχήν. καὶ οὕτω τοῖς ἰδίοις
χρήμασι τῆς ἀρχῆς ἐκεῖνον ἐκβαλών, ἤδη λαμπρὸς ἦν
καὶ τὰ πρῶτα φέρων τιμῶν. ἐπεὶ δὲ πολλὰ τῷ
δημοσίῳ χρήματα ὀφείλειν, προσδόκιμος ἦν δεσμωτή-
ριον οἰκεῖν καὶ σωφρονίζεσθαι μὴ τοιαῦτα κακουργῶν,

πρὸς ἀποστασίαν εἶδε βασιλέως. οὐ γὰρ ἦν ἑτέρως
τὸ κακῶς παθεῖν διαφυγεῖν. συνιδὼν δὲ ἐκ τῶν πραγμά-
των, ὡς βασιλεῖ τῷ νέῳ Ἀνδρονίκῳ πρὸς τὸν πάππον ἀ-
ναγκαίως ἔσται διαφορά, Συργιάννῃ ἐδόκει, τῶν ἐπιτη-
δειοτάτων ὢν αὐτῷ, τῷ νέῳ βασιλεῖ προσαγαγεῖν. ὁ δὲ
6. 90 (καὶ γὰρ ἤδη ὁ τῶν βασιλέων πρὸς ἀλλήλους ἐκινεῖτο πό-
λεμος,) ἐδεῖτο τοῦ μεγάλου δομεστίκου, καὶ τὸν Ἀπό-
καυκον προσλαμβάνειν, οὐ μόνον ἐμφανῶς πρὸς τὴν δι-
οίκησιν τὴν εὔπραξιν ἐσχηκότα φύσιν, ἀλλὰ καὶ χρη-
μάτων εὐποροῦντα, οἷς χρήσιμος πρὸς τὸν πόλεμον
ὠφελήσεται αὐτοῖς· ὧν καὶ κατὰ τὰς ἀρχὰς τῆς ἱστορίας
μάλιστα ἐπεμνήσθημεν συντόμως. ὁ δὲ βασιλεῖ τῷ νέῳ
δι᾽ ἐκείνου προσοικειωθείς, ἐπεὶ ὁ τῶν βασιλέων πόλεμος ἀ-
νερρήγνυτο, τοῦ μὲν πρεσβυτέρου βασιλέως εὐθὺς ἀπέστη
πρὸς τὸν νέον, οὐ μᾶλλον δι᾽ εὔνοιαν, ἢ τὸν ὑφορώ-
μενον κίνδυνον διὰ τὰ ὀφειλόμενα χρήματα ἀπο-
διδράσκων. ταμίας δὲ τῶν βασιλικῶν ἀπεδείκνυτο χρη-
μάτων παρὰ τοῦ μεγάλου δομεστίκου. ἐπεὶ δὲ ἡ νίκη
πρὸς τὸν νέον ἀπῆλθε βασιλέα καὶ ὑπ᾽ αὐτῷ πᾶσα ἡ
τῶν Ῥωμαίων ἡγεμονία ἦν, πλὴν ὑπ᾽ ἐκείνου, σχεδὸν
οὐχ ἑκόντος βασιλέως, οὐδὲ προσήκειν αὐτῷ τὴν ἐξου-
σίαν κρίνοντος, εἰς τὸ μεσάζειν τοῖς ~~πρα~~ πράγμασι κα-
τέστη. πλὴν οὐ παντάπασιν ἐπετράπη τὴν διοίκησιν
τῶν κοινῶν, ἀλλ᾽ ὅσα τῶν ἀναγκαιοτέρων ἦν πρὸ τὸν

μέγαν δομέστικον ἀνάγων, αὐτὸς τῶν πραγμάτων ἤ-
ρχετο, ἐξ ὧν οὐδεμία τοῖς κοινοῖς προσεδοκᾶτο βλάβη,
ἐν ᾗ καιρῷ διῳκημένοις. ὅμως δὲ ὑπὸ πολλῶν ἐθορυ-
βεῖτο. μεταξὺ δὲ καὶ πολλάκις βασιλεῖ προσεκεκρούκει
διὰ τὴν ἄμετρον πανουργίαν καὶ μέλλων δεδόναι δίκας,
ὑπὸ τοῦ μεγάλου δομεστίκου τὴν βασιλέως ὀργὴν ἐσβέ-
σθη παραιτουμένου. εἰς τοιαύτην δὲ περιφάνειαν ἐξ ἀφα- 6. 91
νίας πολλῆς ἐλθών, ἐσκέψατο, εἰ δύναιτο τὸν εὐεργέτην
ἀμείψασθαι τοῖς ἐναντιωτάτοις. ὡς γὰρ βασιλεὺς ὁ νέος
Ἀνδρόνικος τὴν νόσον ἐνόσησεν ἐκείνην τὴν σφοδράν, καὶ
τελευτῆς ἐγένετο ἐγγύς, βασιλίδι μὲν τῇ γαμετῇ κατέλι-
πεν τὴν ἀρχήν, οἷα καὶ παίδων μητρὶ γεγενημένῃ,
ἐπιτρέψας δὲ τῷ μεγάλῳ δὲ δομεστίκῳ τὴν διοίκησιν
τῶν κοινῶν καὶ τὸ πάντας αὐτῷ ὑπείκειν καὶ μηδένα
ἀντιλέγειν πρὸς μηδέν. ὁ δ' αὐτίκα ἤδη ἐπὶ τελευτῶσι τοῖς
βασιλεῦσι τοὺς ἐνδημουμένους τὴν εὔνοιαν καὶ τὴν πίστιν
βεβαίαν παρὰ τῶν ὑπηκόων βουλόμενος πάντων, ὅρκους
ἐπῄει, πάντας δι' αὐτῶν ἔπεμψε τὴν πίστιν ἐμπεδοῦν. οἱ
ὅρκοι δ' Ἄννῃ τε τῇ βασιλίδι Ῥωμαίους διελάμβανον
τὴν πίστιν ἀκραιφνῆ φυλάξειν καὶ παιδὶ βασιλέως τῷ
γεννηθησομένῳ ἐξ αὐτῆς, καὶ τῷ μεγάλῳ δομεστίκῳ τὴν εὔ-
νοιαν. Ξένης δὲ βασιλίδος τῆς βασιλέως μητρὸς ἐμέ-
μνητο οὐδ' ὁτιοῦν· οὕτω καὶ βασιλεῖ ἐκρίθη δεῖν,
μὴ δύνασθαι δύο καὶ τοίας γυναῖκας μίαν διοικεῖν

σ. 91 ἀρχήν. τότε μὲν οὖν ἐκείνη τι ἤκουε βαρέως καὶ
οἷς πρὸς ἐκεῖνον εὐνοίας ἧς ἦν, καίτοι οὐδ' ἐκεῖνον ἀ-
θεράπευτον καταλιπόντος τοῦ μεγάλου δομεστίκου. ὡς γὰρ
καὶ αὐτὸς τὸ πρᾶγμα ὑπενόει θόρυβον δυνάμενον τῇ
βασιλίδι ἐμποιεῖν, Γλαβᾶν τὸν μέγαν διοικητὴν πέμψας
κατὰ τάχος πρὸς αὐτήν, ἅμα δὲ καὶ σταυροὺς ἐκ τῶν
ἀποτετμημένων ξύλων ἀξιοπιστίας ἕνεκα τῶν λόγων, τὴν
μὲν νόσον ἐδήλου βασιλέως ὡς εἴη χαλεπή· ἐδεῖτό τε
σ. 92 δεῖν μὴ θορυβεῖν αὐτοὺς τοιούτου βασιλέως ἀποστερηθέν-
τας. εἰ δ' ἄρα τι συμβαίη τῶν προσδοκωμένων, αὐτοῦ
τὰ πάντα δικαίως καὶ συμφερόντως ταμιεύοντος καὶ διο-
νομοῦντος, μηδὲν αὐτὴν ὑποπτεύειν ἀηδὲς ἐκ τῶν πραγ-
μάτων τῇ μεταβολῇ, ὡς οὐδὲν ἧττον εὐνοϊκῶς αὐτοῦ
διακειμένου πρὸς αὐτήν, ἢ εἰ καὶ αὐτὸς γεγένητο ἐξ
αὐτῆς. οὕτω δὲ ἐκείνης πρὸς ὀργὴν κεκινημένης, οἱ πά-
λαι τε ὑπὸ φθόνου πρὸς τὴν ἀκμὴν δακνόμενοι τοῦ
μεγάλου δομεστίκου καὶ τότε μᾶλλον πρὸς τὸ πάθος
ἐξαφθέντες, σαφῶς ἰδόντες κύριον γεγενημένον τῶν πραγ-
μάτων ἐν οἷς ἄλλοι τε πολλοὶ καὶ ὁ παρακοιμώμενος
Ἀπόκαυκος ἐπιτασσόμενος ἦν, ἐνοχλοῦντι πρὸς τὴν πρᾶξιν
ἠγνοημένου· τὴν βασιλίδος ὀργὴν νομίσαντες ἂν αὐτοῖς
τὰ μέγιστα συμβαλέσθαι πρὸς τὸ τοῦ μεγάλου δο-
μεστίκου περιγενέσθαι καὶ καταλῦσαι τὴν ἀρχήν,
πολλοὶ πρὸς βασιλίδα ἀφικνούμενοι, ἐπεὶ θᾶττον ἦν ὁ

σ. 92 βασιλεὺς καὶ ἀπήλλακτο τῆς νόσου, ἀγανακτεῖν
ὑπὲρ αὐτῆς προσεποιοῦντο καὶ ὀργὴν ἀγνωμοσύνην
τοῦ μεγάλου δομεστίκου κατεγίνωσκον, ὅτι βασιλέως
τελευτῶντος, δι' αὐτόν, εἰ μάλιστα διενοεῖτο, ταῖς βασιλί-
σιν ἀμφοτέραις ἔδει τὴν ἀρχὴν συνδιασώζειν καὶ
μάλιστα ἐκείνῃ, ὅτι ἀμφοτέρωθεν εἴη τε παιδὸς καὶ
τοῦ συνοίκου βασιλέως ἡ Ῥωμαίων προσήκει βασιλεία,
ὀλίγον καὶ τοῦ δικαίου καὶ τοῦ προσήκοντος
φροντίσας, πᾶσαν τὴν ἀρχὴν περιῆγεν εἰς ἑαυτόν,
ὥσπερ τι παραπέτασμα τῆς κακουργίας Ἄνναν
τὴν βασιλίδα προσθεὶς τοῖς ὅλοις, ἣ ἡ ἀλλο- σ. 93
δαπὴς ὀλίγῳ πρότερον ἀφῖκτο καὶ ὀλίγους ἔχου-
σα Ῥωμαίων τοὺς ὑπὲρ αὐτῆς βουλησομένους δια-
κινδυνεύειν, ῥᾳδίως ἔμελλεν αὐτῷ παραχωρήσειν τῆς
ἀρχῆς.

(Ο Καντακουζηνός από σελ. 93 βλ. σ. 14. εξακολουθεί α-
φηγούμενος τας μετά του Αποκαύκου ή περί του Απο-
καύκου συνεννοήσεις της αχαριστίας αυτού, τας
της βασιλίδος περί τούτου γνώμας κ.τ.λ.

Ἀπόκαυκος. 1341

Ἐπιβάται

ς΄. Ὁ μέγας δὲ δομέστικος τὴν ἀγνωμοσύνην καὶ αὐτὸς τὴν ἐνεγ- σ. 101.
κων" ἕως. « . . . . . . . . . . δέον πολλὰς χάριτας
ὁμολογεῖν, σὺ δὲ τοὐναντίον προέλου λέγειν, ἤδη σε καὶ τὴν
ἀρχήν, ἣν παρεσχόμην, ἀφαιρῶ, καὶ ἀπὸ τῆς ἡμέρας ταύ-
της μηδενὸς σοι μετέσται τῶν κοινῶν". ὁ μὲν οὖν τοιαῦτα
ἔλεγεν, Ἀπόκαυκος δὲ τῆς βασιλίδος ἐπιδημούσης, ἐπεὶ
ἡ αὐτὴ τοιαύτη συνδρομή, τῆς δὲ τὰ φρονήματα ὑπέρ-
γειν φύσεως, ὁ μέγας δομέστικος αὐτῷ πᾶσαν ἀπα-
γορεύσας ἀρχὴν ἐξαίφνης, ἀνέξῃ καὶ διοικήσεις ἑτέρων ἐγκε-
χειρισμένων. ὅσοι δὲ παρῆσαν ἐν βασιλείοις, τὴν παραυτί-
κα [illegible] γνόντες πρὸς τὸν μέγαν δομέστικον ἀντιλογίαν, καὶ
ὡς ὑπὸ ἐκείνου πρὸς ὀργὴν πάσης ἀρχῆς ἀπηλλάγη, πολλὴν
μὲν ἐκείνου καὶ ἀγνωμοσύνην καὶ παράνοιαν κατέγνωσαν. σ.10
ἐπῄνουν δὲ τὸν βασιλέα, καίτοι πρότερον γνῶντες ἐπεὶ-
σθαι πολλοὶ καὶ θεραπεύειν διὰ τὴν ἀρχήν, τότε προ-
σέχειν οὐδ᾽ ἐθέλοντες. . . . . . . . . .
Ἀπόκαυκος μὲν οὖν ἐκ τοσούτων αὐτῶν τῷ μεγάλῳ δομε-
στίκῳ φανερῶς προσκεκρουκώς. . . . . ἐπὶ πολλὰς ἡ-
μέρας οἴκοι καθῆστο. . . . . . . . . .
δι᾽ ἃ οὐδὲ παρέχειν ἐπιδέδεικτο συγγνώμην (μέγας δομέστικος)
ἀλλὰ καὶ ἐν Ἐπιβάταις ἐγκεκλεισμένον, ὡς οὐδ᾽ αὖθις ἠρε-
μήσοντα, ἂν ἐᾷ περιεῖναι, ἀλλὰ τὸν ἐπιχειρήσοντα και-
νοτέροις. ὁ δὲ πολλοῖς ὕστερον ἐκεῖνος χρησάμενος πρὸς βασιλί-
δα λόγοις, ἔπεισε θελῆσαι, τὴν μὲν συγγνώμην παρασχεῖν

Αὔγουστος 1341

Ἐπιβάται.

σ. 102. μηδαμῶς δὲ ἐᾶν ἐν Βυζαντίῳ διατρίβειν, ἀλλ' εἰς Ἐπιβατῶν
. 103 ἐλθόντα καὶ προσκυνήσαντα αὐτὴν, ἔνθα τὴν ὑστεραίαν
ἐπανήκειν πρὸς αὐτόν. ἐπεὶ δὲ ἐδέδοκτο τοιαῦτα, καὶ α-
μνηστίαι τῶν κακῶν ἐγένοντο ὅρκοι πρὸς ἐκεῖνον ἰδίᾳ
παρά τε βασιλίδος καὶ μεγάλου δομεστίκου καὶ πατριάρχου.
τοὺς μὲν Φωκᾶς τε καὶ Δέξιος καὶ Ῥῖτος Ἀκίδας παρά τε
βασιλίδος καὶ πατριάρχου ἧκον ἄγοντες ἐν Ἐπιβάταις, τοὺς
μεγάλου δομεστίκου δὲ Δημήτριος ὁ Κασανδρηνός, ὃς ὢν πα-
ρακοιμώμενος ἴδιος, τοῖς τε λόγοις ὧν ἐποιήσαντο αὐτοὺς
πρὸς ἐκεῖνον ἔφασκεν, τοῖς ὅρκοις, ὅτε λόγοις [illegible] τὴν,
ἀλλ' αὐτῷ μηνύσειν ὅπως ἂν ἄριστα διάθοιτο τὰ καθ'
αὑτόν.

δ. 104 . . . . ὀγδόῃ φθίνοντος Σεπτεμβρίου ἐξῆλθε Βυζαντίου ὁ δο-
μέστικος) . . . . . . . . . . ὅσοι δὲ πάρεργοι ἐν Ἐπι-
βάταις γενομένῳ καὶ ὁ παρακοιμώμενος πρὸς βασιλίδα διάγων
παράπτεται αὐτῷ. ἐπεὶ γὰρ τῆς φρουρᾶς ἐγένετο ἐγγὺς, ὁ παρακοιμώ-
μενος ἐξελθὼν, ἠσπάζετό τε αὐτὸν καὶ περὶ τῶν ὅρκων ἀπελογεῖ-
το τῆς ἀποστροφῆς, ὡς οὐ διὰ κακίαν αὐτῷ παραβαθῇ, ἀλλ' ἵν' ἔρ-
γοις αὐτοῖς γένοιτο καταφανής, ὡς οὐ δέοιτο ὅρκων παρ' αὐτοῦ, ἀλλὰ
λόγοις αὐτοῦ ψιλοῖς μᾶλλον θαρροίη, ἢ ἑτέρων ἐγγράφοις ὅρκοις
διὸ καὶ νῦν ἰδών, προθυμεῖσθαι ἐγκεχειρικέναι ἑαυτὸν, τῶν ὅρκων, ὅ-
τε τινος ἑτέρου δεηθῷ. εὐχαριστήσας δὲ ὁ μέγας δομέστικος ἐπι-

Απόσπασμα. 1341 μ.Χ.
Σηλυβρία. Διδυμότειχον

Ἰθόνοις αὐτῷ καὶ ἱκανῶς προσοικειώσας, αὐτὸν μὲν οἴκοι κα- Τομ. Β' σ. 105
ταλιμπάνειν, ὡς ἐς τὴν ὑστεραίαν ἥξοντα πρὸς αὐτόν, ἐκεῖνος
δὲ ἐς Σηλυβρίαν ἦλθεν, ἐς τὴν ὑστεραίαν δὲ εὐθὺ καὶ ὁ πα-
ρακοιμώμενος ἧκε, πέμψας πρὸς Βυζάντιον, ὡς τῇ βασιλί-
δι προσκυνήσαντα (1) αὖθις ἐπανήκειν πρὸς αὐτόν, αὐτὸς εἰς
Διδυμότειχον ᾔει, πρὸς τὴν ἑσπέραν παρεσκευάζετο
στρατιάν. ὁ παρακοιμώμενος δὲ γενόμενος ἐν Βυζαντίῳ,
πρῶτα μὲν προσεκύνει βασιλίδα καὶ συγγνώμης ἠξίου
ἐφ' οἷς ἐδόκει προσκεκρουκέναι. ἔπειτα τῇ μεγάλῃ δομεστί-
κῃ προσειπὼν ἐκεῖ, ἐν Βυζαντίῳ ἔδει παραμυθίας ἕνε-
κα τῆς βασιλίδος ὄψει, πρῶτα μὲν πολλὰς ὡμολόγει χάριτας τῷ
μεγάλῳ δομεστίκῳ, γνώναι τῶν εὐεργεσιῶν, ὧν ἐξαρχῆς ἀεὶ
τότε παρέσχετο πρὸς αὐτόν, ἀλλὰ καὶ τῆς μεγαλοψυχίας
